15 δὸς μισθὸν τοῖς ὑπομένουσίν σε,
καὶ οἱ προφῆταί σου ἐμπιστευθήτωσαν.
16 εἰσάκουσον, κύριε, δεήσεως τῶν ἱκετῶν σου
κατὰ τὴν εὐλογίαν Ααρων περὶ τοῦ λαοῦ σου,
17 καὶ γνώσονται πάντες οἱ ἐπὶ τῆς γῆς
ὅτι κύριος εἶ ὁ θεὸς τῶν αἰώνων.
18 Πᾶν βρῶμα φάγεται κοιλία,
ἔστιν δὲ βρῶμα βρώματος κάλλιον.
19 φάρυγξ γεύεται βρώματα θήρας,
οὕτως καρδία συνετὴ λόγους ψευδεῖς.
20 καρδία στρεβλὴ δώσει λύπην,
καὶ ἄνθρωπος πολύπειρος ἀνταποδώσει αὐτῷ.
21 πάντα ἄρρενα ἐπιδέξεται γυνή,
ἔστιν δὲ θυγάτηρ θυγατρὸς κρείσσων.
22 κάλλος γυναικὸς ἱλαρύνει πρόσωπον
καὶ ὑπὲρ πᾶσαν ἐπιθυμίαν ἀνθρώπου ὑπεράγει·
23 εἰ ἔστιν ἐπὶ γλώσσης αὐτῆς ἔλεος καὶ πραΰτης,
οὐκ ἔστιν ὁ ἀνὴρ αὐτῆς καθ᾽ υἱοὺς ἀνθρώπων.
24 ὁ κτώμενος γυναῖκα ἐνάρχεται κτήσεως,
βοηθὸν κατ᾽ αὐτὸν καὶ στῦλον ἀναπαύσεως.
25 οὗ οὐκ ἔστιν φραγμός, διαρπαγήσεται κτῆμα·
καὶ οὗ οὐκ ἔστιν γυνή, στενάξει πλανώμενος.
26 τίς γὰρ πιστεύσει εὐζώνῳ λῃστῇ
ἀφαλλομένῳ ἐκ πόλεως εἰς πόλιν;
27 οὕτως ἀνθρώπῳ μὴ ἔχοντι νοσσιὰν
καὶ καταλύοντι οὗ ἐὰν ὀψίσῃ.
37 1 Πᾶς φίλος ἐρεῖ Ἐφιλίασα κἀγώ·
ἀλλ᾽ ἔστιν φίλος ὀνόματι μόνον φίλος.
2 οὐχὶ λύπη ἔνι ἕως θανάτου
ἑταῖρος καὶ φίλος τρεπόμενος εἰς ἔχθραν;
3 ὦ πονηρὸν ἐνθύμημα, πόθεν ἐνεκυλίσθης
καλύψαι τὴν ξηρὰν ἐν δολιότητι;
4 ἑταῖρος φίλου ἐν εὐφροσύνῃ ἥδεται
καὶ ἐν καιρῷ θλίψεως ἔσται ἀπέναντι·
5 ἑταῖρος φίλῳ συμπονεῖ χάριν γαστρός,
ἔναντι πολέμου λήμψεται ἀσπίδα.

15(al. 21)$^2$ εμπιστευθησονται SA || 16(al. 22)$^1$ οικετων SA | 16$^2$ λαου] υιου S*† || 17$^2$(al. 22$^4$) κυριος ει] συ ει κυριος S(†) || 19(al. 24)$^1$ γευσεται S† || 26(al. 31)$^2$ σφαλλομενω B†

37 1$^1$ εφιλ.] + αυτω B† || 2$^1$ ενι B*S*AVpau.] μεν(ε)ι rel. | 2$^2$ εχθρον Amu.: cf. 6 9 || 5$^1$ φιλω συμπ.] φιλος σ. V, φιλος σ. φιλω S† | 5$^2$ εναντι] pr. απ A